Didache 1:1-3

Ὁδοὶ δύο εἰσί μία τῆς ζωῆς καὶ μία τοῦ θανάτου

διαφορὰ δὲ πολλὴ μεταξὺ τῶν δύο ὁδῶν.

2 Ἡ μὲν οὖν ὁδὸς τῆς ζωῆς ἐστιν αὕτη·

πρῶτον ἀγαπήσεις τὸν θεὸν τὸν ποιήσαντά σε δεύτερον τὸν πλησίον σου ὡς σεαυτόν·

πάντα δὲ ὅσα ἐὰν θελήσῃς μὴ γίνεσθαί σοι καὶ σὺ ἄλλῳ μὴ ποίει.

3 Τούτων δέ τῶν λόγων ἡ διδαχή ἐστιν αὕτη·

εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐχθρῶν ὑμῶν

νηστεύετε δὲ ὑπὲρ τῶν διωκόντων ὑμᾶς·

ποία γὰρ χάρις ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς;

οὐχὶ καὶ τὰ ἔθνη τὸ αὐτὸ ποιοῦσιν;

ὑμεῖς δὲ ἀγαπᾶτε τοὺς μισοῦντας ὑμᾶς καὶ οὐχ ἕξετε ἐχθρόν.